Σχόλ. Ὅσα δὴ δέδηγμαι.] θαυμαστικὸν τὸ ὅσα, ἀντὶ τοῦ πολλά. ὁ δὲ δὴ σύνδεσμος παραπληρωματικός, αὔξησιν δηλοῖ. ἐχρήσατο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ, κίνησις γὰρ αὕτη δὴ μεγίστη. δύναται δὲ λείπειν ἡ κατὰ πρόθεσις. ἵν' ᾖ κατὰ τὴν ἐμαυτοῦ καρδίαν. ὃ καὶ βέλτιον, ὅτι μεταφέρει ἀπὸ τοῦ θυμοῦ ἐπὶ τὴν καρδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὸν ἐμαυτοῦ θυμόν, κατὰ τὴν ἐμαυτοῦ καρδίαν φησί. δέδηγμαι δέ, ἀντὶ τοῦ ἠνίαμαι. λελύπημαι. καὶ Ομηρος. δάκε δὲ φρένας Εκτορι μῦθος. καὶ θυμοδακὴς μῦθος. ἄλλως. καλῶς ἔφη δέδηγμαι τὴν καρδίαν, παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς. ὡς καὶ παρ' Ομήρῳ Ὀδυσσεὺς θυμούμενος κατὰ τῶν μνηστήρων. στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ. τέτλαθι δὴ κραδίη φάσκων. Ψαμμοκοσιογάργαρα] διὰ πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμοκόσια καθ' ἑαυτό, ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Εὐπόλιδι ἐν χρυσῷ γένει οὕτως. ἀριθμεῖν θεατὰς ψαμμοκοσίους. παρὰ τὸ ἑξακοσίους, ἢ ἑπτακοσίους ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δέ, ἐπὶ πλήθους ἐτίθετο. ὡς ἐν Λίμναις. ἀνδρῶν ἐπακτῶν πάντα γάργαρ' ἐστὶ καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς. ἔνδον γὰρ ἡμῖν γάργαρα. καὶ παρὰ Σώφρονι. ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων γάργαιρε. καὶ ἐν τῇ τραγῳδίᾳ χρημάτων τε γάργαρα. θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ. κάρκαιρε δὲ γαῖα πόδεσσι, τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν. διὸ γάργαιρε. καὶ τὸν Καρκίνον δὲ οὕτως ὀνομάζεσθαι, διὰ τὸ πλῆθος τῶν ποδῶν. ἄλλως. ἀπὸ δύο λέξεων τὸ σύνθετον ἐγένετο δηλουσῶν πολλά. σύγκειται γὰρ ἀπό τε τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πύθιος νεανιεύεται τὸν ψάμμου τὸν ἀριθμὸν εἰδέναι, αὐχῶν ἐν οἷς λέγει, Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης. καὶ Εὔπολις ἐπεσημήνατο τὴν λέξιν εἰπών. ἀριθμεῖν θεατὰς ψαμμοκοσίους. δύναται γὰρ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια. ἥτις ἐστὶ κατάληξις τοῦ μετὰ τὸν ἑκατὸν ἀριθμοῦ μέχρι τῶν χιλίων. ὃς πλήθους ἐστὶ πολλοῦ σημαντικός. διὸ διακόσια τριακόσια καὶ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν τὴν πρὸς τὸ κ. εἴρηται δέ, ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. τὸ δὲ κάρκαιρε παρὰ τῷ ποιητῇ ἐστί, κάρκαιρε δὲ γαῖα πόδεσσι. μέμνηται δὲ καὶ Κρατῖνος, Ἀρίστων ἀνδρῶν πᾶσα γαργαίρει πόλις. οἷον πλήθει.

BISETVS. Ἥσθην] παρὰ τὸ ἥδεσθαι, τὸ χαίρειν, καὶ εὐφραίνεσθαι. τὸ δὲ ἐγῷδα, ἀντὶ τοῦ ἐγὼ οἶδα.

Σχόλια. Ἄξιον χαιρηδόνος.] ἀντὶ τοῦ χαρᾶς, τῷ τύπῳ δὲ ὡς ἀλγηδόνος. ὡς γὰρ ἀπὸ τοῦ ἀλγήσω, μέλλοντος ἀλγηδὼν ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρήσω χαιρηδὼν χαιρηδόνος. Τὸ κέαρ εὐφράνθηι.] σαφῶς Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἄνω γὰρ εἰπών. ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν, νῦν φησὶν ἐφ' ᾧ τὸ κέαρ εὐφράνθην. Τοῖς πέντε ταλάντοις] ἀπλήστως ἀλλότρια καταφαγών, ἐξήμεσεν αὐτά. ἀντὶ τοῦ κλέψας καὶ καταπιὼν ἀπέδωκεν. ἐζημιώθη γὰρ ὁ Κλέων πέντε τάλαντα, διὰ τὸ ὑβρίζειν τοὺς ἱππέας. παρὰ τῶν νησιωτῶν γὰρ ἔλαβε πέντε τάλαντα ὁ Κλέων, ἵνα κουφίσαι πείσῃ τοὺς Ἀθηναίους αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς, ἀντέλεγον καὶ ἀπῄτησαν αὐτόν. μέμνηται Θεόπομπος.

Ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας
Διὰ τοῦτο τοὔργον, ἄξιον γὰρ Ἑλλάδι.
Αλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν.
Οτε δὴ κεχήνη προσδοκῶν τὸν Αἰσχύλον.
Ο δ' ἀνεῖπεν, εἴσαγ' ὦ Θέογνι τὸν χορόν.
Πῶς τοῦτ' ἔσεισέ μου δοκεῖς τὴν καρδίαν;
Αλλ' ἕτερον ἥσθην ἡνίκ' ἐπὶ Μόσχῳ ποτὲ
Δεξίθεος εἰσῆλθ' ᾀσόμενος Βοιώτιον,
Τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδών,
Οτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον,
Αλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι

Vt lætor ob hanc rem, & equites amo. Nam facinus hoc
Dignum certè fuit vniuerſa Græcia.
Rurſum indolui propter Tragicas ineptias:
Quòd, cùm ego maximo hiatu expectauiſſem Æſchylum,
Præco clamaret: heus Theogni chorum introduc.
Quomodo putas, hoc animum perculerit meum?
Sed aliud item me oblectauit: cùm ingreſſus eſt
Poſt Moſchum, Dexitheus, canturus Bœotium.
Hoc anno mortuus ſum, & diſtortis fui
Oculis, videns, quòd reſpiceret ad Orthium
Modum Chæris, ſed ex quo ego ſordibus eluor,
Nunquam pulueribus ſic ægrè afflictus fui,

Σχόλια. Ταῦθ' ὡς ἐγανώθην.] ἀντὶ τοῦ ἐχάρην. ἐφαιδρύνθην. ἀπὸ τοῦ γάνυμαι. Ομηρος. γάνυται δὲ φρένα ποιμήν. ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

BISETVS. Εὐστάθιος. γάνος, ἡ χαρά, παρὰ τὸ γάλα, τροπῇ τοῦ λ εἰς ν. ὅθεν τὸ γανοῦσθαι, τὸ χαίρειν. καὶ γάνυσθαι, καὶ γανύσκεσθαι ταυτόν.

Σχόλια. Ἄξιον γὰρ Ἑλλάδι.] τοῦτο παρῳδία καλεῖται, ὅτ' ἂν ἐκ τραγῳδίας μετενεχθῇ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ Τηλέφου Εὐριπίδου ἔχον οὕτω. κακῶς ὄλοιτ' ἄν. ἄξιον γὰρ Ἑλλάδι. εἰς τὸ δρᾶμα οὖν τῶν ἱππέων ἀποτείνεται. διὰ τούτου γὰρ φαίνεται καταδικασθεὶς ὁ Κλέων, τάλαντα ε. ἄξιον οὖν φησιν Ἑλλάδος, καταδικασθῆναι τὸν Κλέωνα.

BISETVS. Ἄλλως. Ἄξιον Ἑλλάδι, ἀντὶ τοῦ Ἑλλάδος, καινοπρεπέστερον. ἀλλὰ τὸ ἄξιον, καὶ τὸ ἀνάξιον μετὰ δοτικῆς ἀντὶ τοῦ πρέπον, ἢ μὴ πρέπον λαμβάνεται. διὸ παρὰ Ξενοφῶντι, ἄξιον ἀνθρώποις ζῆν. ἐν τῷ α. τῶν ἀπομνημ. καὶ ἐν τῷ β. „Σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε. καὶ τὰ ἑξῆς. καὶ ἐν τῷ γ. „Οὐκ οἴει σοι ἄξιον εἶναι ἐπιμεληθῆναι ὅπως διασωθῇ; ἄξιον οὖν Ἑλλάδι, ἀντὶ τοῦ πρέπον.

Σχόλια. Τραγῳδικόν.] ἀντὶ τοῦ ἐμπαθές. ἐπείπερ καὶ ἡ τραγῳδία, ἐμπαθῶν πραγμάτων ἀπαγγελτική. ἢ ἐπεὶ περὶ τραγῳδιῶν μέλλει λέγειν. Οτε δὴ κεχήνη.] ἡ συναίρεσις τοῦ κεχήνη, ἀττική. τὸ γὰρ ε καὶ α, εἰς η συναιροῦσιν. εἰς τὸ αὐτό. συναλοιφή, ἀντὶ τοῦ κεχήνεα. ἔστι δὲ τὸ κεχήνη ἰακόν. οἱ γὰρ Ἴωνες ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντες τινί, κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν, προσδεχομένων τὴν τροφὴν καὶ ἔτι κεχηνότων. διὸ τροφή μοι ἦν τῶν Αἰσχύλου τραγῳδιῶν ἀκοῦσαι. Προσδοκῶν τὸν Αἰσχύλον.] ἀντὶ τοῦ Αἰσχύλου τραγῳδίας. ὥσπερ καὶ ἡμεῖς ἔχοντες τὰ Αἰσχύλου, Αἰσχύλον λέγομεν ἔχειν. οὐ γὰρ ἔζη κατ' ἐκεῖνον τὸν χρόνον. ἐτελεύτησε γὰρ ἐπὶ ἄρχοντος Καλλίου τοῦ μετὰ Μνησίθεον, τούτοις πρότερον ἐνιαυτόν. τιμῆς δὲ